# Προσευχές γιά την απαλλαγή από τον θυμό και την φιλοδοξία

Εἰς τό ὄνομα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος . Ἀμήν.
Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος ἐλέησον ἡμᾶς. (τρεῖς φορές)
Παναγία τριάς, ἐλέησον ἡμᾶς. Κύριε ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν.
Δέσποτα, συγχώρισον τάς ἀνομίας ἡμίν. Ἅγιε, ἐπισκεψε καί ἴασαι τάς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.
Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον.
Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τό ὄνομά Σου, ἐλθέτω ἡ βασιλεία Σου, γεννηθήτω τό θέλημά Σου ὡς ἐν οὐρανό καί ἐπί τῆς γής. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός ἡμίν σήμερον, καί ἄφες ἡμίν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καί μή εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν ἀλλά ρύσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.

**Του Κυρίου δεηθώμεν**

**Ἰησοῦ, Υἱέ τοῦ Θεοῦ, ὁ πρᾶος καί ταπεινός τῆ καρδία**, κατάπεμψον κατά τό μέγα καί πλούσιον ἔλεος Σου καί ἐν ταῖς καρδίαις ἡμῶν τό πνεῦμα τῆς εἰρήνης καί τῆς πραότητος, ἵνα εἰρηνεύοντες ἐκ τοῦ κακίστου πάθους τοῦ θυμοῦ, μνημονεύομεν ἀεί τῆς ἐνδόξου καί φοβεροῦ ὀνόματος Σου μετά καρδίας γαληνιώσης.

**Ἰησοῦ, τό ἀρνίον τό ἄκακον**, τό προσφερόμενον ἐνώπιον τοῦ οὐρανίου πατρός θυσία ὑπέρ ἡμῶν τῶν ἁμαρτωλῶν καί ἀχρείων, ἐπάκουσον ἡμῶν ἐν τῆ ὥρα ταύτη δεομένων σου καί ἐλευθέρωσον ἡμᾶς ἐκ τοῦ φοβεροῦ τοῦ θυμοῦ πάθους, διότι ἀπολλύμεθα ἐξ αὐτοῦ καί δέν δυνάμεθα ποτέ νᾶ ἀφιερωθῶμεν εἰς τήν ἀγάπην Σου καί εἰς τό θέλημα Σου τό ἅγιον, ενόσω ὑπό τοῦ πάθους τούτου κατεχόμεθα.

**Ἰησοῦ ανεξίκακε**, ὁ ἐπί τοῦ Σταυροῦ ὑπέρ τῶν σταυρωσάντων σε πρός τόν οὐράνιον σου Πατέρα προσευχόμενος, ποίησον καί ἡμᾶς τοιούτους , ὥστε νᾶ

προσευχόμεθα ὑπέρ τῶν ἐπηρεαζόντων καί κακοποιούντων ἡμᾶς, ἷνα ούτο γενώμεθα μιμηταί σου καί δοξάζεται καί δι’ημών τό Πανάγιον Ὂνομα Σου , νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Κύριε ῥῦσαι με ἀπό θυμοῦ** καί ὀξυχολίας, καί δώρησαι μοι πραότητα καί μακροθυμίαν. Κύριε , ῥῦσαι με ἀπό τοῦ ψεύδους καί τῆς καταλαλίας καί τῆς κατακρίσεως, καί δώρησαι μοι ἐν πάσῃ ἀληθείᾳ καί συμπάθεια προσέχειν καί ὁμιλεῖν ἐν τῷ συντυγχάνειν με τοῖς ἀδελφοῖς μου. Κύριε , ῥῦσαι με ἀπό τῆς καυχήσεως καί τῆς
ἀργολογίας καί δώρησαι μοι ταπείνωσιν καί σιωπήν.

**Κύριε, ῥῦσαι με ἀπό τῶν παραπτωμάτων τῆς γλώττης μου**, ὅτι καθ’ ἑκάστην ἁμαρτάνω δι’αυτής ὁ τάλας καί ούκ αἰσθάνομαι. Κύριε ῥῦσαι με ἀπό τῆς ὀλεθρίου κενοδοξίας καί καθάρισον με ἀπό τῶν κρυφίων μου.

**Κύριε , δώρησαι μοι ταπεινοφροσύνην βαθεῖαν**, ἀήττητον καί κατάνυξιν τῇ καρδία μου, ὅπως κλαύσω τάς ἀνομίας μου καί ἐξάλειψον πάσας τάς ἁμαρτίας μου, καί ἐν μετανοίᾳ ἀληθεῖ καί ἐξομολογήσει , καί ἐν συνειδότι ἀκαταγνώστῳ καί ἐν πίστι καθαρᾷ καί ἀμωμήτῳ τήν ἐμήν εὐδόκησον τελευτήν. Πρεσβείαις τῆς Παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καί πάντων σου Ἁγίων.

**Δι’ ευχών ...**
**Ἀμήν.**